*γογγυλίδας· ἀπεκρίνατο δὴ τοῖς Σαυνίταις μηδὲν χρυσίου δεῖσθαι τοιοῦτον δεῖπνον δειπνῶν, αὐτῷ δὲ βέλτιον εἶναι τοῦ χρυσίον ἔχειν τὸ κρατεῖν τῶν ἐχόντων.*

## *ΓΑΙΟΣ ΦΑΒΡΙΚΙΟΣ*

1. *Γάιος Φαβρίκιος τὴν ὑπὸ Πύρρου Ῥωμαίων ἧτταν πυθόμενος 'Λαιβῖνον' εἶπε 'Πύρρος, οὐκ Ἠπειρῶται Ῥωμαίους νενικήκασιν.'*

2. *Ἐλθὼν δὲ πρὸς Πύρρον περὶ λύσεως αἰχμαλώτων
χρυσίον | μὲν πολὺ διδόντος οὐκ ἔλαβε· τῇ δ' ὑστεραίᾳ τὸν* **195**
*μέγιστον ἐλέφαντα τοῦ Πύρρου παρασκευάσαντος ἐξόπισθεν ἀγνοοῦντι τῷ Φαβρικίῳ ῥήξαντα φωνὴν ἐπιφανῆναι καὶ τούτου γενομένου, ἐπιστραφεὶς ὁ Φαβρίκιος καὶ μειδιάσας 'ἐμέ' εἶπεν 'οὔτε τὸ χρυσίον ἐχθὲς οὔτε σήμερον τὸ θηρίον ἐξέπληξε.'*

3. *Τοῦ δὲ Πύρρου παρακαλοῦντος αὐτὸν εἶναι σὺν αὐτῷ καὶ τὴν μετ' αὐτὸν ἔχειν ἡγεμονίαν 'οὐδὲ σοί' ἔφη 'τοῦτο λυσιτελές ἐστιν· Ἠπειρῶται γὰρ ἐὰν ἀμφοτέρους γνῶσιν ἡμᾶς, ὑπ' ἐμοῦ βασιλεύεσθαι μᾶλλον ἢ σοῦ ἐθελήσουσιν.'*

4. *Ὑπατεύοντι δὲ τῷ Φαβρικίῳ προσέπεμψεν ἐπιστολὴν ὁ τοῦ Πύρρου ἰατρὸς ἐπαγγελλόμενος, ἐὰν κελεύῃ,* B
*φαρμάκοις τὸν Πύρρον ἀποκτενεῖν· ὁ δὲ Φαβρίκιος τὴν ἐπιστολὴν πρὸς τὸν Πύρρον ἔπεμψεν, αἰσθέσθαι κελεύσας ὅτι καὶ φίλων κάκιστός ἐστι κριτὴς καὶ πολεμίων.*

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id403549256/78 UNIVERSITÄT LEIPZIG